Τίς καὶ ἐμὲ τλήθυμος ἔλοι δύστηνον ἀκοίτης·
Ζεὺς δὲ πατὴρ δικάσειεν, ἄνωθε δὲ κυπρογενείης,
Μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος αἶσχος ἀχαίοις.

ΔΙΟΝΥΣΙΟΥ.

Ωρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Εὐδαίμων πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων,
Εἶτα δ' ὁ μὴ γήμας, τὸ τρίτον ὅστις ἄπαις.
Ην δὲ μανεὶς γήμῃ τις, ἔχει χάριν, ἢν κατορύξῃ
Εὐθὺς τὴν γαμετὴν, προῖκα λαβὼν μεγάλην.
Ταῦτ' εἰδὼς, σοφὸς ἴσθι· μάτην δ' Ἐπίκουρον ἔασον
Ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

Αδηλον.

Οὐκ ἔστι γήμας ὅστις οὐ χειμάζεται,
Λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

Αδηλον.

Αχρις ἂν ἧς ἄγαμος νυμφίε, πάντα δοκεῖ σοι
Εν τῷ ζῆν εἶναι τἀγαθὰ τῶν ἀγαθῶν.
Εἶθ' ὅταν εἰσέλθῃ γαμετὴ, πάλιν εὐθὺ δοκεῖ σοι
Εν τῷ ζῆν εἶναι πάντα κακῶν τὰ κακά.
Αλλὰ χάριν τεκνίων; ἕξεις νυμφίε τέκνα,
Χαλκὸν ἔχων· πτωχὸς δ' οὐδὲ τὰ τέκνα φιλεῖ.

---

ΕΙΣ ΓΗΡΑΣ, καὶ γέροντας, κεφ. ιε.

ΜΕΝΕΚΡΑΤΟΥΣ.

Γῆρας ὅταν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
Μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.